PA
3851
.A9
1822

LIBRARY OF CONGRESS.

[SMITHSONIAN DEPOSIT.]

Chap. PA3851

Shelf .A9 1822

UNITED STATES OF AMERICA

ΜΥ͂ΘΟΙ ΑἸΣΩΠΟΥ ἘΚΛΕΚΤΟῚ.

NONNULLÆ EX

ÆSOPO FABULÆ,

AD USUM

ALUMNORUM PRÆCIPUE SUB MEA TUTELA ACCOMMODATÆ;
SED ETIAM, SI PLACUERIT, ALIORUM.

CUM

Notis et Lexico

QUAS SCRIPSIT ET COLLEGIT

REV. T. ANDREWS, A.M.
PERPETUAL CURATE OF COGGS, OXON; AND CURATE
OF NEWINGTON, KENT.

Θήγει φρένα τὸ ἡδὺ τεχνῶν.

Omne tulit punctum qui miscuit utile dulci.

Londini:
EXCUDEBAT, IMPENSIS AUCTORIS,
T. C. HANSARD, PETERBORO'-COURT, FLEET-STREET:
ET PER F. C. ET J. RIVINGTON, ST. PAUL'S CHURCH-
YARD; ET J. NUNN, GREAT QUEEN-STREET,
LINCOLN'S-INN-FIELDS, VENEUNT.

1822.

Αλωπηξ Page 9th

PA3851
A9
1822

ΑΙΣΩΠΟΥ ΜΥΘΟΙ.

I.

ἈΛΏΠΗΞ καὶ ΛΈΩΝ.

ἈΛΏΠΗΞ, μήπω θεασαμένη Λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν· ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν, ὡς τὸ πρότερον, ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως κατεθάῤῥησεν, ὡς καὶ προσελθοῦσα διαλεχθῆναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

II.

ἈΛΏΠΗΞ.

ἈΛΏΠΗΞ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν, ἔφη, Ὦ οἵα κεφαλὴ, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ δὲ ψυχὴν ἀλογίστους.

III.

ἉΛΙΕΙ͂Σ.

ἉΛΙΕΙ͂Σ ἐξελθόντες εἰς ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες οὐδὲν εἶλον, σφόδρα τε

ἠθύμουν, καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ Θύννος, ὑπὸ τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο, οἱ δὲ τοῦτον λαβόντες, μεθ' ἡδονῆς ἀνεχώρησαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις, ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

IV.

ΓΕ´ΡΩΝ καὶ ΘΑ´ΝΑΤΟΣ.

ΓΕ´ΡΩΝ ποτὲ ξύλα τεμὼν ἐξ ὄρους, κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἐπεκαλεῖτο· τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν αὐτὸν καλοίη, ὁ Γέρων ἔφη, Ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοί.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος ὢν, κἂν μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

V.

ΓΕΩΡΓΟΣ καὶ ΠΑΙΔΕΣ αὐτοῦ

ΓΕΩΡΓΟΣ τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ Παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς ἔφη, · Παῖδες ἐμοὶ, ἐγὼ μὲν ἤδη τὸν Βίον ὑπέξειμι. ὑμεῖς δ', ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται, ζητήσαντες εὑρήσετε πάντα· οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν, μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς, κατέσκαψαν, καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

'Επιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ κάμαλος θησαυρός ἐςι τοῖς ἀνθρώποις.

VI.

ΝΕΑΝΊΣΚΟΙ καὶ ΜΆΓΕΙΡΟΣ.

ΔΥΟ Νεανίσκοι Μαγείρῳ παρεκάθηντο, καὶ δὴ τȣ̃ Μαγείρȣ περί τι τῶν ὀικείων ἔργων ἀσχολȣμένȣ, ἅτερος τȣ́των μέρος τι τῶν κρεῶν ὑφελόμενος εἰς τὸν θατέρȣ καθῆκε κόλπον· ἐπιςραφένȱος δὲ τȣ̃ Μαγείρȣ, καὶ τὸ κρέας ἐπιζηȱȣ̃ντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν· ὁ δὲ ἔχων, μὴ εἰληφέναι· ὁ δὲ Μάγειρος αἰσθόμενος τὴν κακȣργίαν αὐτῶν, εἶπεν, 'Αλλὰ κᾂν ἐμὲ λάθηȱε, τόν γ' ἐπιορκȣ́μενον Θεὸν ȣ̓̃κȣν λήσεσθε.

'Επιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι κᾂν ἀνθρώπȣς ἐπιορκȣ̃ντες λάθωμεν, ἀλλὰ τόν γε Θεὸν ȣ̓ λήσομεν.

VII.

ΛΈΩΝ, καὶ ῎ΟΝΟΣ, καὶ ᾿ΑΛΏΠΗΞ.

ΛΈΩΝ, καὶ ῎Ονος, καὶ ᾿Αλώπηξ κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ Λέων τῷ ῎Ονῳ διελεῖν αὐτοῖς· ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὐτρέπετο. Καὶ ὁ Λέων θυμωθεὶς τὸν ῎Ονον κατέφαγεν· εἶτα τῇ ᾿Αλώπεκι μερίζειν ἐκέλευσεν. Ἡ δ᾽ εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπεν. Καὶ ὁ Λέων πρὸς αὐτὴν, Τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν; Ἡ δ᾽ εἶπεν, Ἡ τοῦ ῎Ονου συμφορά.

᾿Επιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

VIII.

ΜΑΝΤΙΣ.

ΜΑΝΤΙΣ ἐπ' ἀγορᾶς καθήμενος, διελέγετο. Ἐπιστάντος δέ τινος αἴφνης, καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν, καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας, καὶ δρομαῖος ᾔει· τρέχοντα δέ τις αὐτὸν θεασάμενος, Ὦ οὗτος, εἶπεν, ὁ τἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου;

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας· τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

IX.

ΜΥ'ΡΜΗΞ καὶ ΠΕΡΙΣΤΕΡΑ'.

ΜΥ'ΡΜΗΞ διψήσας καἰελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τȣ͂ ῥεύμαἰος ἀπεπνίγετο. Περιςερὰ δὲ τȣ͂το θεασαμένη, κλῶνα δένδρȣ περιελȣ͂σα, εἰς τὴν πηγὴν ἔῤῥιψεν, ἐφ' ȣ͂ καὶ καθίσας ὁ Μύρμηξ διεσώθη. Ἰξευἰὴς δέ τις μετὰ τȣ͂το τȣ̀ς καλάμȣς συνθεὶς ἐπὶ τὸ τὴν Περιςερὰν συλλαβεῖν ᾔει, τȣ͂το δ' ὁ Μύρμηξ ἑωρακὼς, τὸν τȣ͂ Ἰξευτȣ͂ πόδα ἔδακεν· ὁ δὲ ἀλγήσας, τȣ́ς τε καλάμȣς ἔῤῥιψε, καὶ τὴν Περιςερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

X.

ΞΥΛΕΥΌΜΕΝΟΣ καὶ ἙΡΜΗ͂Σ.

ΞΥΛΕΥΌΜΕΝΌΣ τις παρὰ τῷ ποταμῷ τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. Ἀμηχανῶν τοίνυν, παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν, χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ, εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν, ἤρετο. Τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ μήδε τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ [a] τρίτου καταβὰς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, Ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, πάντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος, πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξελήλυθεν. Ὧν εἷς τις τὰ ἶσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες αφεὶς εἰς τὸ ῥεῦμα, κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν Ἑρμῆς κἀκείνῳ, καὶ τὴν αἰτίαν μαθῶν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκεν, καὶ ἤρετο, εἰ ταύτην

ἀπέβαλε; τȣ̃δε σὺν ἡδονῇ, καὶ ἀληθῶς ἥδ' ἐςι, φήσαντος, μισήσας ὁ Θεὸς τὴν τοσαύτην ἀναίδειαν, ȣ̓ μόνον ἐκείνην κατέσχεν, ἀλλ' ȣ̓δὲ τὴν οἰκείαν ἀπέδωκεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσȣ̃τον τοῖς ἀδίκοις ἐναντιȣ̃ται.

XI.

ΠΑΙ͂Σ καὶ ΜΗΤΗΡ.

ΠΑΙ͂Σ ἐκ διδασκαλείȣ τὴν τȣ̃ συμμαθητȣ̃ δέλτον κλέψας, ἤνεγκε τῇ Μητρί· τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν ȣ̃ν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν· ἐπαυτοφώρῳ δέ ποτε ληφθεὶς ἀπήγετο τὴν πρὸς θάνατον· τῆς δὲ Μητρὸς ἑπομένης, καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ Μητρὶ διαλεχθῆναι πρὸς ȣ̃ς. Τῆς δὲ ταχέως τῷ ςόματι τȣ̃ Παιδὸς προσθείσης, ἐκεῖνος τὸ ȣ̃ς τοῖς ὀδȣ̃σι δακὼν ἀφείλετο.

Τῆς δὲ Μηἶρὸς, καὶ τῶν ἄλλων καἶηγορȣνἶων, ὡς ȣ̓ μόνον κέκλοφεν, ἀλλ᾽ ἤδη καὶ εἰς τὴν Μηἶέρα ἠσέϐηκεν, ἐκεῖνος εἶπεν, αὐτὴ γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος· εἰ γὰρ, ὅτε τὴν δέλτον ἐκεκλόφειν, ἐπέπληξέ μοι, ȣ̓κ ἂν, μέχρι τȣ́των χωρήσας, νῦν ἠγόμην ἐπὶ τὸν θάναἶον.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ᾽ ἀρχὰς κολαζομένων ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

XII.

ΤΑΩΣ καὶ ΚΟΛΟΙΟΣ.

ΤΩΝ ὀρνίθων βȣλόμενων ποῖησαι βασιλέα, Ταὼς ἑαυτὸν ἠξίȣ διὰ τὸ κάλλος χειροἶονεῖν· αἱρȣμένων δὲ τȣ̃τον πάντων, Κολοιὸς ὑπολαϐὼν ἔφη, Ἀλλ᾽ εἰ, σȣ̃ βασιλεύονἶος, Ἀετὸς ἡμᾶς καἶαδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰς ἄρχοντας ἐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην, καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

XIII.

ΜΟΝΙῸΣ καὶ ἈΛΏΠΗΞ.

ΜΟΝΙῸΣ ἄγριος ἐπί τινος ἑςὼς δένδρε, τὰς ὀδόντας ἔθηγεν. Ἀλώπεκος δ' ἐρομένης τὴν αἰτίαν, ὅτι, μηδεμίας προσκειμένης ἀνάγκης, τί τὰς ὀδόντας θήγει; ἔφη, Οὐκ ἀλόγως τὸτο ποιῶ, εἰ γάρ με κίνδυνος περιςαίη, ἔκεν με τηνικαῦτα, πρὸς τὰς ὀδόντας ἀκονᾷν, ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις ἔσι χρῆσθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

XIV.

ΝΕΒΡΌΣ.

ΝΕΒΡΌΣ ποτε πρὸς τὸν ἔλαφον εἶπε, Πάτερ, σὺ καὶ μείζων, καὶ ταχύτερος κυνῶν πέφυκας, καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις πρὸς ἄμυναν. Τί δήποτ᾽ οὖν οὕτω τούτους φοβῇ; κᾀκεῖνος γελῶν εἶπεν, Ἀληθῆ μὲν ταῦτα φῆς, τέκνον· ἓν δ᾽ οἶδα, ὡς ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν, οὐκ οἶδ᾽ ὅπως, ἐκφέρομαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ῥώννυσιν.

XV.

ΒΑ΄ΤΡΑΧΟΙ.

ΒΑ΄ΤΡΑΧΟΙ δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες ἐπεζήτουν ἑτέραν· καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος θατέρῳ φησὶ, Συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ. Ὁ δὲ ὑπολαβὼν εἶπεν, Ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

XVI.

ΛΑΓΩΟΙ` καὶ ΒΑ´ΤΡΑΧΟΙ.

ΟἹ Λαγωοί ποτε συνελθόντες τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη, καὶ δειλίας πλέως. Καὶ γὰρ καὶ ὑπ' ἀνθρώπων, καὶ κυνῶν, καὶ ἀετῶν, καὶ ἄλλων πολλῶν ἀναλίσκονται. Βέλτιον οὖν εἶναι θανεῖν ἅπαξ, ἢ διὰ βίου τρέμειν. Τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταὐτὸν εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσούμενοι, καὶ ἀποπνιγησόμενοι. Τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων, ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις, ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων, ἔφη, Στῆτε, ἑταῖροι, μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε. Ἤδη γὰρ, ὡς ὁρᾶτε, καὶ ἡμῶν ἕτερ' ἐστὶ ζῶα δειλότερα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ δυστυχοῦντες, ἐξ ἑτέρων χείρονα πασχόντων παραμυθοῦνται.

XVII.

ὌΝΟΣ καὶ ἽΠΠΟΣ.

ὌΝΟΣ Ἵππον ἐμακάρισεν, ὡς ἀφθόνως τρεφόμενον, καὶ ἐπιμελῶς, αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα, πλείστα ταλαιπωρῶν· ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου, καὶ ὁ στρατιώτης ἔνοπλος ἀνέβη τὸν Ἵππον, πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε, καὶ ὁ Ἵππος πληγεὶς ἔκειτο. Ταῦτα ἑωρακὼς ὁ Ὄνος, τὸν Ἵππον, μεταβαλλόμενος, ἐταλάνιζεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας, καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον, καὶ τὸν κίνδυνον ἀναλογιζομένους, τὴν πενίαν ἀγαπᾶν.

XVIII.

ΦΙΛΑΡΓΥΡΟΣ.

ΦΙΛΑΡΓΥΡΟΣ τις ἅπασαν αὐτȣ͂ τὴν ȣ̓σίαν ἐξαργυρισάμενος, καὶ χρυσȣ͂ν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ ψυχὴν ἑαυτȣ͂, καὶ τὸν νȣ͂ν, καὶ καθ' ἡμέραν ἐρχόμενος, αὐτὸν ἔβλεπε. Τῶν δὲ ἐργατῶν τις αὐτὸν παρατηρήσας, καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. Μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν, καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο, καὶ τίλλειν τὰς τρίχας· τȣ͂τον δέ τις ὀλοφυρόμενον ȣ̔́τως ἰδὼν, καὶ τὴν αἰτίαν πυθόμενος, μὴ ȣ̔́τως, εἶπεν, Ὦ ȣ̔͂τος, ἀθύμει· ȣ̓δὲ γὰρ ἔχων, τὸν χρυσὸν εἶχες· λίθον ȣ̓͂ν ἀντὶ χρυσȣ͂ λαβὼν, θὲς, καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι· τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν. Ὡς ὁρῶ γὰρ, ȣ̓δ', ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τȣ͂ κτήματος.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

XIX.

ἜΛΑΦΟΣ.

ἜΛΑΦΟΣ τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν, ἐπ' ἠϊόνος ἐνέμετο, τὸν μὲν ὑγιᾶ τῶν ὀφθαλμῶν πρὸς τὴν ξηρὰν διὰ τοὺς κυνηγετοῦντας ἔχουσα, τὸν δὲ λοιπὸν πρὸς θάλατταν, ὅθεν οὐδὲν ὑπώπτευε. Παραπλέοντες δέ τινες, καὶ τούτου στοχασάμενοι, αὐτῆς κατετόξευσαν. Ἡ δ' ἑαυτὴν ὠλοφύρετο, ὡς ὑφ' ἧς μὲν ἐδεδοίκει, μηδὲν παθοῦσα, ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν, ὑπὸ ταύτης προδεδομένη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡμῖν τὰ βλαβερὰ δοκοῦντα, ὠφέλιμα γίνεται· τὰ δ' ὠφέλιμα, βλαβερά.

XX.

ἜΛΑΦΟΣ καὶ ΛΈΩΝ.

ἜΛΑΦΟΣ κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ. Λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη. Θνήσκουσα δ' ἔλεγεν, Οἴμοι, ὅτι, ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον!

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

XXI.

ΚΗΠΩΡΟ͂Σ καὶ ΚΥ΄ΩΝ.

ΚΗΠΩΡΟΥ͂ Κύων εἰς φρέαρ κατέπεσεν· Ὁ δὲ Κηπωρὸς βουλόμενος αὐτὸν ἐκεῖθεν ἀνενεγκεῖν, κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ· Οἰηθεὶς δ᾽ ὁ Κύων, ὡς κατωτέρω μᾶλλον αὐτὸν παραγέγονε καταδῦσαι, τὸν Κηπωρὸν, στραφεὶς, ἔδακεν. Ὁ δὲ μετ᾽ ὀδύνης ἐπανιὼν, Δίκαιά, φησι, πέπονθα, τί δήποτε γὰρ τὸν αὐτόχειρα σῶσαι ἐσπούδασα;

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἀδίκους, καὶ ἀχαρίστους.

XXII.

ΛΈΩΝ καὶ ΛΎΚΟΣ.

ΛΈΩΝ γηράσας, ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ, Παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα, πλὴν ἀλώπεκος, τἄλλα τῶν ζώων. Ὁ τοίνυν Λύκος λαβόμενος εὐκαιρίας, κατηγόρει παρὰ τῷ Λέοντι τῆς Ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. Ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ Ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ Λύκου ῥημάτων. Ὁ μὲν οὖν Λέων κατ' αὐτῆς ἐβρυχᾶτο. Ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα, καὶ τις ἔφη, τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν, ὅσον ἐγὼ, πανταχόσε περινοστήσασα, καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατροῦ ζητήσασα, καὶ μαθοῦσα; τοῦ δὲ Λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησὶν, εἰ Λύκον ζῶντα ἐκδείρας, τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ. Καὶ τοῦ Λύκου αὐτίκα νεκροῦ κειμένου, ἡ

Ἀλώπηξ γελῶσα εἶπε, Οὕτως οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν παρακινεῖν, ἀλλὰ πρὸς εὐμένειαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ καθ' ἑτέρου μηχανώμενος, καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

XXIII.

ΑἸΘΙΌΨ.

ΑἸΘΙΌΠΑ τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος· καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν· καὶ τὸ μὲν χρῶμα μεταβαλλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τὸ πονεῖν παρεσκεύασεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

XXIV.

ΓΥΝῊ καὶ ΘΕΡΆΠΑΙΝΑΙ.

ΓΥΝῊ χήρα φιλεργὸς θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι, ἔγνωσαν, δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν. Συνέβη δ᾽ αὐταῖς τοῦτο διαπραξαμέναις χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς· ἡ γὰρ δεσπότις, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα κακῶν αἴτια γίγνεται.

XXV.

ΓΥΝῊ ΜΑ΄ΓΟΣ.

ΓΥΝῊ μάγος, θείων μηνιμάτων ἀποτροπιασμοῦς ἐπαγγελλομένη, πολλὰ διετέλει ποιοῦσα, καὶ κέρδος ἐντεῦθεν ἔχουσα. Γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας εἷλον, καὶ καταδικασθεῖσαν ἀπῆγον εἰς θάνατον. Ἰδὼν δέ τις ἀπαγομένην αὐτὴν, ἔφη, Ἡ τὰς τῶν Θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται, μηδὲ μικρὰ ποιῆσαι δυνάμενοι.

XXVI.

ὉΔΟΙΠΌΡΟΙ.

ΔΎΟ τινὲς κατὰ τ' αὐτὸν ὡδοιπόρουν· καὶ, θατέρου πέλεκυν εὑρόντος, ἅτερος, ὁ μὴ εὑρὼν, παρῄνει αὐτὸν μὴ λέγειν, εὕρηκα, ἀλλ' εὑρήκαμεν· μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος, πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν, ἀπολώλαμεν· ὁ δ' εἶπεν, ἀπόλωλα, λέγε, οὐκ ἀπολώλαμεν· καὶ γὰρ, καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα, ἔλεγες, οὐχ εὑρήκαμεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

XXVII.

ΠΙΘΗΚΟΣ καὶ ΔΕΛΦΙΣ.

ἜΘΟΥΣ ὄντος τοῖς πλέουσι Μελιταῖα κυνίδια, καὶ πιθήκους ἐπάγεσθαι πρὸς παραμυθίαν τοῦ πλοῦ, πλέων τίς εἶχε σὺν ἑαυτῷ καὶ πίθηκον. Γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον, τὸ τῆς Ἀττικῆς ἀκρωτήριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. Τῆς δὲ νεὼς περιτραπείσης, καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. Δελφὶς δέ τις αὐτὸν θεασάμενος, καὶ ἄνθρωπον εἶναι ὑπολαβὼν, ὑπελθὼν ἀνεῖχε, διακομίζων ἐπὶ τὴν χέρσον. Ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου, εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος. Τοῦ δὲ εἰπόντος, καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων ἐπανήρετο, εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. Ὑπολαβὼν δὲ ὁ πίθηκος περὶ ἀνθρώπου αὐτὸν λέγειν, ἔφη, καὶ μάλα φίλον εἶναι αὐτῷ, καὶ συνήθη. Καὶ ὁ Δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτήσας, βαπτίζων αὐτὸν, ἀπέκτεινεν.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας, οἱ τὴν ἀλήθειαν ἐκ εἰδότες, ἀπαλᾶν νομίζεσιν.

XXVIII.

ΜΥΙΑΙ.

ἘΝ τινι ταμείῳ μέλιτος ἐκχυθέντος, Μυῖαι προσπτᾶσαι κατήσθιον. Ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι ἐκ εἶχον. Ἀποπνιγόμεναι δ' ἔλεγον, ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα!

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἡ λιχνεῖα πολλῶν κακῶν αἰτία γίνεται.

XXIX.

ἙΡΜΗ͂Σ καὶ ἈΓΑΛΜΑΤΟΠΟΙΟ͂Σ.

ἙΡΜΗ͂Σ γνῶναι βȢλόμενος ἐν τίνι τιμῇ παρ᾽ ἀνθρώποις ἐςὶν, ἧκεν εἰς ἈγαλματοποιȢ͂, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ, καὶ θεασάμενος ἄγαλμα τȢ͂ Διὸς, ἠρώτα, πόσȢ τὶς αὐτὸ πρίασθαι δύναται. ΤȢ͂ δὲ εἰπόντος, Δραχμῆς, γελάσας, ΠόσȢ τὸ τῆς Ἥρας, ἔφη, εἰπόντος δὲ, πλείονος· ἰδὼν καὶ τὸ ἑαυτȢ͂ ἄγαλμα, καὶ νομίσας, ὡς, ἐπειδὴ ἄγγελός ἐςι Θεῶν, καὶ κερδῶος, πολὺν αὐτȢ͂ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτȢ͂. Ὁ δ᾽ Ἀγαλματοποιὸς ἔφη, ἐὰν τȢ́τȢς ὠνήσῃ, καὶ τȢ͂τον προσθήκην σοὶ δίδωμι.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρα κενόδοξον, ἐν Ȣ̓δεμιᾷ παρὰ ἄλλȢς ὄντα τιμῇ.

XXX.

ἜΡΙΦΟΣ καὶ ΛΎΚΟΣ.

ἜΡΙΦΟΣ ὑστερήσασα τῆς ποίμνης, ὑπὸ Λύκου κατεδιώκετο. Ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν, εἶπεν Ὦ Λύκε, ἐπεὶ πέπεισμαι, ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον, ὅπως ὀρχήσωμαι. Τοῦ δὲ Λύκου αὐλοῦντος, καὶ τῆς Ἐρίφου ὀρχουμένης, οἱ κύνες ἀκούσαντες, τὸν Λύκον ἐδίωκον. Ὁ δὲ ἐπιστραφεὶς, τῇ Ἐρίφῳ φησὶ, Δικαίως ταῦτά μοι γίνεται· ἔδει γάρ με, μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῶν μὲν, πρὸς ἃ πεφύκασιν, ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμεναι, δυστυχίαις περιπίπτουσιν.

XXXI.

ΚΛΈΠΤΑΙ.

ΚΛΈΠΤΑΙ εἴς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, εἰ μὴ ἀλεκτρυόνα, καὶ, τοῦτον λαβόντες, ἀπῄεσαν. Ὁ δὲ, μέλλων ὑπ᾽ αὐτῶν θύεσθαι, ἐδεῖτο, ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων, χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δὲ ἔφασαν, Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται, ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα.

XXXII.

ΚΌΡΑΞ καὶ ὌΦΙΣ.

ΚΌΡΑΞ τροφῆς ἀπορῶν, ὡς κατεῖδεν ἔν τινι εὐηλίῳ τόπῳ Ὄφιν κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. Τοῦ δὲ ἐπιστραφέντος, καὶ δακόντος αὐτὸν, ἀποθνήσκειν μέλλων εἴρηκε, Δείλαιος ἔγωγε, ὃς τοιοῦτον εὗρον ἕρμαιον, ἐξ οὗ καὶ ἀπόλλυμαι!

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρα διὰ θησαυρῶν εὕρησιν ἐπὶ σωτηρίᾳ κινδυνεύσαντα.

XXXIII.

ΝΥΚΤΕΡῚΣ καὶ ΓΑΛΗ͂.

ΝΥΚΤΕΡῚΣ, ἐπὶ γῆς πεσȣ͂σα, ὑπὸ Γαλῆς συνελήφθη, καὶ μέλλȣσα ἀναιρεῖσθαι, περὶ σωτηρίας ἐδεῖτο. Τῆς δὲ φαμένης, μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι, φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν, αὐτὴ ἔλεγεν, ȣ̓κ ὄρνις, ἀλλὰ μῦς εἶναι· καὶ ȣ̔́τως ἀφείθη. Ὑστερὸν δὲ πάλιν πεσȣ͂σα, καὶ ὑφ᾽ ἑτέρας συλληφθεῖσα Γαλῆς, μὴ βρωθῆναι ἐδεῖτο· τῆς δὲ εἰπȣ́σης, ἅπασιν ἐχθραίνειν μυσὶν, αὐτὴ μὴ Μῦς, ἀλλὰ Νυκτερὶς ἔλεγεν εἶναι· καὶ πάλιν ἀπελύθη· Καὶ ȣ̔́τω συνέβη, δὶς αὐτὴν ἀλλαξαμένην τὸ ὄνομα, σωτηρίας τυχεῖν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἀεὶ ἐπιμένειν, λογιζομένȣς, ὡς οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι πολλάκις τȣ̀ς κινδύνȣς ἐκφεύγȣσιν.

XXXIV.

ὌΝΟΣ ἌΓΡΙΟΣ.

ὌΝΟΣ ἄγριος Ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν, ἐπί τε τῇ εὐεξίᾳ τȣ̃ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕςερον δὲ ἰδὼν αὐτὸν ἀχθοφορȣ̃ντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη, Ἀλλ᾽ ἔγωγε ȣ̓κέτι σε εὐδαιμονίζω· Ὁρῶ γὰρ, ὡς ȣ̓κ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ȣ̓κ ἔςι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν κέρδη.

XXXV.

ὌΝΟΣ καὶ ἈΛΏΠΗΞ.

ὌΝΟΣ ἐνδυσάμενος λεοντῆν περιήει, τἆλλα τῶν ζώων ἐκφοβῶν. Καὶ δὴ θεασάμενος Ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δειδίττεσθαι· ἡ δὲ (ἐτύγχανε γὰρ αὐτȣ̃ φθεγξαμένȣ προακηκουῖα) πρὸς αὐτὸν ἔφη, Ἀλλ', εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένȣ ἤκȣσα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων, τοὶς ἔξω δοκȣ̃ντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

XXXVI.

ΚΆΜΗΛΟΣ.

῞ΟΤΕ πρῶτον Κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοϐηθέντες, καὶ τὸ μέγεθος καταπλαγέντες, ἔφευγον. Ὡς δὲ, χρόνε προϊόντος, συνεῖδον αὐτῆς τό πρᾶον, ἐθάῤῥησαν μέχρι τε προσελθεῖν. Αἰσθόμενοι δὲ κατὰ μικρὸν τὸ ζῶον, ὡς χολὴν ἐκ ἔχει, εἰς τοσἒτον καταφρονήσεως ἦλθον, ὥς τε, καὶ χαλινὲς αὐτῷ περιθέντες, παισὶν ἐλαύνειν δεδώκασιν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ φοϐερὰ τῶν πραγμάτων, ἡ συνήθεια εὐκαταφρόνητα ποιεῖ.

XXXVII.

ʼΟΦΙΣ.

ʼΟΦΙΣ, ὑπὸ πολλῶν ἀνθρώπων πατέμενος, τῷ Διῒ ἐνετύγχανεν. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν, Ἀλλ᾽, εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιστάμενοι, τοῖς ἄλλοις φοβεροὶ γίνονται.

XXXVIII.

ἽΠΠΟΣ καὶ ὌΝΟΣ.

ἌΝΘΡΩΠΟΣ τις εἶχεν Ἵππον καὶ Ὄνον. Ὀδευόντων δὲ ἐν τῇ ὁδῷ, εἶπεν ὁ Ὄνος τῷ Ἵππῳ, Ἆρον ἐκ τȣ̃ ἐμȣ̃ βάρȣς, εἰ θέλεις εἶναι με σῶν. Ὁ δὲ ȣ̓κ ἐπείσθη. Ὁ δὲ Ὄνος, πεσὼν ἐκ τȣ̃ κοπȣ̃ ἐτελεύτησε· τȣ̃ δὲ δεσπότȣ πάντα ἐπιθέντος αὐτῷ, καὶ αὐτὴν τὴν Ὄνȣ δορὰν, θρηνῶν ὁ Ἵππος ἐϐόα, Οἴμοι τῷ πανάθλίῳ! τί μοι συνέϐη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαϐεῖν, ἰδȣ̀ ἅπαντα βαςάζω, καὶ τὸ δέρμα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνȣ̃ντες, ἀμφότεροι σωθήσονται ἐν βίῳ.

XXXIX.

ΑΝΘΡΩΠΟΣ καὶ ΣΑΤΥΡΟΣ.

ΑΝΘΡΩΠΟΣ τις πρὸς Σάτυρον φιλίαν ποιησάμενος, συνεσθίων ἦν αὐτῷ. Χειμῶνος δὲ καὶ ψύχȣς γενομένȣ, ὁ ἄνθρωπος, τὰς χεῖρας αὐτȣ̃ προσφέρων τῷ ςόματι, ἀπέπνει. Τȣ̃ δὲ Σατύρȣ ἐπερωτήσαντος, δι' ἣν αἰτίαν τȣ̃το πράττει, ἔφη, Τὰς χεῖράς μȣ θερμαίνω ἐκ τȣ̃ κρύȣς· μετὰ μικρὸν δὲ ἐδέσματος θερμȣ̃ προσενεχθέντος, ὁ ἄνθρωπος, προσφέρων τῷ ςόματι, ἐφύσα αὐτό. Πυνθανομένȣ δὲ πάλιν, δι' ἣν αἰτίαν τȣ̃το πράττει, ἔφη, Τὸ ἔδεσμα καταψύχω. Ὑπολαβὼν δὲ ὁ Σάτυρος, Ἀλλ' ἔγωγε, ἔφη, ἀπὸ τȣ̃ νῦν ἀποτάσσομαί σȣ τῆς φιλίας, ὅτι ἐκ τȣ̃ αὐτȣ̃ ςόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξάγεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ φεύγειν ἡμᾶς τὰς φιλίας, ὧν ἀμφίβολός ἐςιν ἡ διάθεσις.

XL.

ΒΟΥΚΌΛΟΣ.

ΒΟΥΚΌΛΟΣ ἀγέλην ταύρων βόσκων, ἀπώλεσε μόσχον. Περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον, διέτριβεν ἐρευνῶν. Ὡς δὲ οὐδὲν εὑρεῖν ἠδυνήθη, ηὔξατο τῷ Διῒ, ἂν τὸν λαβόντα μόσχον κλέπτην ὑποδείξῃ, ἔριφον εἰς θυσίαν προσάξειν. Καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα, εὑρίσκει Λέοντα κατεσθίοντα τὸν μόσχον. Ἔμφοβος οὖν γενόμενος, καὶ μέγα δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπεν, Ὦ δέσποτα Ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον δώσειν, ἐὰν τὸν κλέπτην εὕρω· νυνὶ δὲ ταῦρόν σοι θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας δυστυχεῖς, οἵ τινες ἀποροῦντες μὲν, εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

XLI.

ΤΈΤΤΙΞ καὶ ΜΎΡΜΗΚΕΣ.

ΧΕΙΜΩ͂ΝΟΣ ὥρᾳ, τῶν σίτων βραχέντων, οἱ Μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ Μύρμηκες εἶπον αὐτῷ, Διὰ τί τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν, Οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. Οἱ δὲ γελάσαντες εἶπον, Ἀλλ', εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

XLII.

ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.

ΟΡΝΙΘΑ τις εἶχεν ὠὰ χρυσᾶ τίκτουσαν, καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ, ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

XLIII.

ΛΕ΄ΩΝ καὶ ᾿ΑΛΩ΄ΠΗΞ.

ΛΕ΄ΩΝ γηράσας, καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν, ἔγνω δι᾽ ἐπινοίας τὶ πρᾶξαι. Καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ, καὶ κατακλεισθεὶς, προσεποιεῖτο νοσεῖν· παραγενόμενα οὖν τὰ ζῶα ἐπισκέψεως χάριν, συλλαμβάνων κατήσθιεν αὐτά. Πολλῶν οὖν ζώων ἀναλωθέντων, ᾿Αλώπηξ, τὸ τέχνασμα τοῦτο γνοῦσα, παρεγένετο πρὸς αὐτὸν, καὶ, στᾶσα ἔξωθεν τοῦ σπηλαίου, ἐπυνθάνετο πῶς ἔχει. Τοῦ δὲ εἰπόντος, κακῶς, καὶ τὴν αἰτίαν πυνθανομένου, δι᾽ ἣν οὐκ εἰσέρχεται, ἡ ᾿Αλώπηξ ἔφη, Ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων, ὀλίγων δὲ ἐξιόντων.

᾿Επιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσιν.

XLIV.

ἜΡΙΦΟΣ καὶ ΛΎΚΟΣ.

ἜΡΙΦΟΣ ἐπί τινος δώματος ἑςὼς, ἐπειδὴ Λύκον παριόντα εἶδεν, ἐλοιδόρει, καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ Λύκος ἔφη, Ὦ ἦτος, ȣ̓ σύ με λοιδορεῖς, ἀλλ᾽ ὁ τόπος.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος, καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

XLV.

ΣΑΛΠΙΓΚΤΗ΄Σ.

ΣΑΛΠΙΓΚΤΗ`Σ ϛρατὸν ἐπισυναγὼν, καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων, ἐβόα, Μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῆ καὶ μάτην. Οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα. Πλὴν γὰρ τȣ̃ χαλκȣ̃ τȣ́τȣ, ȣ̉δὲν κτῶμαι. Οἱ δὲ πρὸς αὐτὸν ἔφασαν, διὰ τȣ̃το γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ, μὴ δυνάμενος πολεμεῖν, τȣ̀ς πάντας πρὸς μάχην ἐγείρεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίȣσιν, οἱ τȣ̀ς κακȣ̀ς καὶ βαρεῖς δυνάϛας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

XLVI.

ΚΑ΄ΛΑΜΟΣ καὶ ᾿ΕΛΑΙ΄Α.

ΔΙΑ καρτερίαν καὶ ἰσχὺν καὶ ἡσυχίαν Κάλαμος καὶ ᾿Ελαία ἤριζον. Τȣ͂ δὲ Καλάμȣ ὀνειδιζομένȣ ὑπὸ τῆς ᾿Ελαίας, ὡς ἀδυνάτȣ, καὶ ῥᾳδίως ὑποκλινομένȣ πᾶσι τοῖς ἀνέμοις, ὁ Κάλαμος σιωπῶν ȣ̓κ ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρὸς, ὁ μὲν κάλαμος ὑποσεισθεὶς καὶ ὑποκλινθεὶς τοῖς ἀνέμοις, ῥᾳδίως διεσώθη, Ἡ δὲ ᾿Ελαία, ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

᾿Επιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιςάμενοι, κρείττȣς εἰσὶ τῶν πρὸς μείζονας φιλονεικȣ́ντων.

XLVII.

ΛΥ'ΚΟΣ καὶ ΓΕ'ΡΑΝΟΣ.

ΛΥ'ΚΟΥ λαιμῷ ὀστέον ἐπεπήγει. Ὁ δὲ Γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. Ἡ δὲ, τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει, ὅστις γελάσας καὶ τοὺς ὀδόντας θήξας, Ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο καὶ μόνον, ὅτι ἐκ Λύκου στόματος καὶ ὀδόντων ἐξῄρες κάραν σῶαν, μηδὲν παθοῦσαν.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας, οἵ τινες ἀπὸ κινδύνου διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

XLVIII.

ΒΑ΄ΤΡΑΧΟΙ.

ΒΑ΄ΤΡΑΧΟΙ δύο, ξηρανθείσης τῆς λίμνης, ἐν ᾗ κατῴκουν, περιῄεσαν, ζητοῦντες ποῦ καταμεῖναι. Καὶ ἐλθόντες εἰς φρέαρ βαθὺ, καὶ κύψαντες κάτω, καὶ ἰδόντες τὸ ὕδωρ, ὁ μὲν εἷς συνεβούλευεν, ἵνα πηδήσωσι παρ' εὐθὺς κάτω· ὁ δ' ἕτερος εἶπεν, Εἰ καὶ τοῦτο ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἄνευ συμβουλῆς μὴ ποιεῖν τι.

XLIX.

᾽ΑΡΝῸΣ καὶ ΛΎΚΟΣ.

᾽ΑΡΝῸΣ ἐφ᾽ ὑψηλȣ͂ τόπȣ ἱςάμενος, Λύκον κάτωθεν παριόντα τὴν ὁδὸν ἔσκωπτε, καὶ θηρίον κακὸν ἀπεκάλει, καὶ ὠμοβόρον. Ὁ δὲ Λύκος ςραφεὶς, εἶπε πρὸς τὸν, ȣ̓ σύ με λοιδορεῖς, ἀλλ᾽ ὁ πύργος, ἐν ᾧ ἵςασαι.

᾽Επιμύθιον.

Ὁ μῦθος πρὸς τȣ̀ς ὑπομένοντας ὕβριν ἀπὸ ἀναξίων ἀνθρώπων, διὰ φόβον ὑψηλοτέρων.

L.

ΚΏΝΩΨ καὶ ΛΈΩΝ.

ΚΏΝΩΨ πρὸς Λέοντα ἐλθὼν εἶπεν, Οὐδὲ φοβοῦμαί σε, οὐδὲ δυνατώτερός μου εἶ. Εἰ δὲ μὴ, τί σοί ἐστὶν ἡ δύναμις; ὅτι ξύεις τοῖς ὄνυξι καὶ δάκνεις ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη, ποιεῖ. Ἐγὼ δὲ λίαν ὑπάρχω σοῦ ἰσχυρότερος. Εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον. Καὶ σαλπίσας ὁ Κώνωψ, ἐνεπήγετο, δάκνων τὰ περὶ τὰς ῥίνας αὐτοῦ ἄτριχα πρόσωπα. Ὁ δὲ Λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτὸν, ἕως οὗ ἠγανάκτησεν. Ὁ Κώνωψ δὲ νικήσας τὸν Λέοντα, καὶ σαλπίσας, καὶ ἐπινίκιον ᾄσας, ἔπτατο. Ἀράχνης δὲ δεσμῷ ἐμπλακεὶς, ἐσθιόμενος ἀπωδύρετο, ὅτι μεγίστοις πολεμῶν, ὑπὸ εὐτελοῦς ζώου, τῆς Ἀράχνης, ἀπώλετο.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς τȣ̀ς καταβάλλοντας μεγάλȣς, καὶ ὑπὸ μικρῶν καταβαλλομένȣς.

ΤΈΛΟΣ.

NOTES AND EXPLANATIONS.

NOTES AND EXPLANATIONS.

FABLE I.

(Κατὰ) τὸ μὲν πρῶτον (θέαμα). At first sight.

FABLE II.

Ὁ μῦθος πρὸς—supply γέγραπται—was written.

FABLE V.

Εὑρήσετε πάντα—supply Χρήματα—riches.

FABLE VII.

Ἐκ τῶν ἴσων—supply Μοιρῶν—of equal parts.

Τὰ τῶν (ἀνθρώπων ὄντων) πέλος. Of those who are near.

FABLE IX.

Μετὰ τοῦτο (πρᾶγμα). After this thing.

FABLE X.

Ἐκ τρίτȣ (χρόνȣ) καταβὰς. Having descended a third time.

Ὅτι ὅσον—read εἰς ὅσον μέτρον, &c. εἰς τοσȣ̃τον μέτρον—in such proportion.

FABLE XI.

Τὰ μείζω κλέπτειν—supply χρήματα—things.

Απήγετο τὴν πρὸς θάνατον—read ἀνὰ τὴν ὁδὸν πρὸς θάνατον ἡγȣμένην. Through the way leading to death.

Ἐδεῖτο βραχέα τινὰ (ῥήματα). Words.

Μέχρι τȣ́τω (κλεμμάτων) χωρήσας. Having reached this extent of robbery.

FABLE XVI.

Βέλτιον ἓν (ἔλεγον) εἶναι. It were better, therefore, they said, &c.

Ὥρμησαν κατὰ ταὐτὸν (δρόμον). They hurried in a strait course.

Ἐξ ἑτέρων (ἀνθρώπων) χείρονα πασχόντων. By the example of those who suffer worse misfortunes.

FABLE XVII.

Καὶ μέσον τῶν πολεμίων—read (εἰς) μέσον πλῆθος, &c. In the midst of the host.

FABLE XVIII.

Καὶ τὸ γεγονὸς (πρᾶγμα) συννοήσας. And having perceived what was done.

Ἐν χρήσει ἦσθα—ἦσθα for ἦσ—*eras*, thou wast.

Ὅτι ὀυδὲν ἡ κτῆσις—supply ἐστι—possession is as nothing.

FABLE XIX.

Τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν—read (κατὰ) τὸν ἕτερον.

Πρὸς τὴν ξηρὰν (γῆν). Towards the land.

FABLE XXII.

Ἐν τοσούτῳ (χρόνῳ). In the mean time.

Τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν—read (εἰς τοσοῦτον μέρος). Of those who are assembled have rendered service to such a degree.

FABLE XXIII.

Νοσεῖν δὲ (for τὴν νόσον) τὸ πονεῖν (for ὁ πόνος) παρεσκεύασεν.

Ὡς προῆλθον (κατὰ) τὴν ἀρχήν.

FABLE XXIV.

Περιπεσεῖν τοῖς δεινοῖς (πράγμασι). Circumstances.

FABLE XXVI.

Δύο τινὲς κατὰ τ᾽αὐτὸν (τόπον) ὡδοιπόρȣν. Two men were travelling the same road.

Καὶ θατέρȣ—for τȣ̃ ἑτέρȣ.

Ἅτερος —for ὁ ἕτερος.

FABLE XXVII.

Ἔθους ὄντος τοῖς (ἀνθρώποις). It being the custom of those who sailed.

Εἰ τὸ γένος (κατὰ) ἐςὶν Ἀθηναῖος. If he were an Athenian by birth.

FABLE XXIX.

Ἧκεν εἰς (ἐργαστήριον) Ἀγαλματοποιȣ̃. Went into the workshop of a statuary.

Δραχμῆς (ἀντὶ).

FABLE XXX.

Δικαίως ταῦτά (δυστυχήματα) μοι γίνεται. These evils have justly happened to me.

Ὅτι οἱ τῶν μεν (πραγμάτων) αμελοῦντες. That they who neglect their own affairs.

Τὰ δὲ ἑτέρων (ἀνθρωπων) ἐπιτηδεύειν πειρώμενα.

FABLE XXXII.

Ὃς τοιοῦτον εὗρον ἕρμαιον (κέρδος).

Ὁ μῦθος (γέγραπται) πρὸς ἄνδρα.

FABLE XXXIII.

Αὐτη ἔλεγεν, οὐκ (εἶναι) ὄρνις. She said that she was not a bird.

FABLE XXXV.

Ὄνος ἐνδυσάμενος λεοντῆν (δορὰν). An ass having put on a lion's skin.

Τἆλλα—for τὰ ἄλλα.

Εἰ μὴ (σοῦ) ὀγκωμένου ἤκουσα. Unless I had heard you braying.

Τῶν ἀπαιδεύτων (ἄνθρωπων)

FABLE XXXVI.

Ὅτε (κατὰ τὸν) πρῶτον (χρόνον). When, the first time.

Συνεῖδον αὐτῆς (ἦθος) τὸ πρᾶον. They saw the gentleness of his temper.

Κατὰ μικρὸν (χρόνον).

Εἰς τοσȣ̃τον (μέτρον).

FABLE XXXVII.

Ἐπεχείρησε τȣ̃το (πρᾶγμα).

Ὅτι οἱ τοῖς (κατὰ τὸν) πρότερον (χρόνον).

FABLE XXXVIII.

Ἆρον (μέρος τι) ἐκ τȣ̃ ἐμȣ̃ βάρȣς. Carry part of my load.

Ἐκ τȣ̃ κοπȣ̃ ἐτελεύτησε (Βίον).

Τȣ̃ δὲ δεσπότȣ πάντα (τὸν φόρτον) ἐπιθέντος αὐτῷ. His master having laid the whole load upon him.

Τί (πρᾶγμα) μοι συνέβη τῷ ταλαιπώρῳ.

Οἱ μεγάλοι (ἄνδρες). Men.

FABLE XXXIX.

Μετὰ μικρὸν (χρόνον). Time.

Ἀπὸ τȣ̃ νῦν (ὄντος χρόνȣ). From this time.

Τὸ θερμὸν (πνεῦμα). Breath.

FABLE XL.

Ὡς δὲ ὐδὲν (χρῆμα) εὑρεῖν ἠδυνήθη.

Καὶ (εἰς τὸ) μέγα (μέτρον) δειλιάσας. And being greatly afraid.

Ἐὰν τύτυ (Λέοντος) τὰς χεῖρας ἐκφύγω. If I escape from the power of this lion.

FABLE XLI.

Χειμῶνος (ἐν) ὥρᾳ.

Διὰ τί (πρᾶγμα).

Τὸ θέρος (ἀνά).

FABLE XLII.

Εὕρηκεν (αὐτὴν) ὁμοίαν.

Δεῖ τοῖς παρῦσιν (χρήμασι) ἀρκεῖσθαι. We ought to be satisfied with our present possessions.

FABLE XLIII.

Ἐπισκέψεως (διὰ) χάριν.

Πῶς (ἑαυτὸν) ἔχει. How he was.

Ὁρῶ ἴχνη πολλῶν (ζώων) εἰσιόντων.

FABLE XLIV.

Ἀλλ' ὁ τόπος (λοιδορεῖ).
Καλὰ τῶν ἀμεινόνων (ἀνθρώπων).

FABLE XLV.

Οὐδὲν κλῶμαι (κτῆμα).

FABLE XLVI.

Καὶ μικρὸν (εἰς χρόνον) ὑπομείνας.

FABLE XLVII.

Τȣ͂το καὶ μόνον (πρᾶγμα).

FABLE XLVIII.

Ἄνευ συμβȣλῆς μὴ ποιεῖν τι (δεῖ).

FABLE L.

Εἰ δὲ μὴ (ȣ̔́τως ἔχει).
Ὅτι μεγίϛοις (θηρίοις) πολεμῶν.

LEXICON,

A.

Ἀγαθὸς, ȣ, ὁ, *bonus*, good.

Ἄγαλμα, ατος, τὸ, *simulachrum*, an image, statue.

Ἀγαλματοποιὸς, ȣ, ὁ, *statuarius*, a carver, statuary.

Ἀγανακτέω, ῶ, ήσω, ηκα, ἠγανάκτησα, ἀγανακτήσας, ἀγανακτȣ̃ντος, *doleo*, to grieve; *indignor*, to be displeased.

Ἀγαπάω, ῶ, ήσω, κα, ἀγαπᾶ, ἀγαπᾶν, ἀγαπήσας, αντος, ἠγαπημένος, *diligo*, to favor, love.

Ἄγγελος, ȣ, ὁ, *angelus*, an angel.

Ἀγέλη, ης, ἡ, *grex*, a flock.

Ἀγνοέω, ῶ, ἠγνόεον, ȣν, ήσω, ηκα, ἀγνοήσας, *ignoro*, to be ignorant.

Ἀγορὰ, ᾶς, ἡ, *forum*, a market place.

Ἄγρα, ας, ἡ, *captura*, a prey; *venatio*, a hunting.

Αγριος, ια, ιον, *agrestis*, wild.

Ἀγχίνοος, contr. αγχινȣς, *ingeniosus*, ingenious.

Ἄγω, ἄξω, ἄξων, ἦχα, ἤγαγον, ἄγαγε, έτω, ἀγάγετε, ἀγάγω, ης, η, ἀγάγωσιν, ἀγαγεῖν, *duco*, to lead.

Ἄδικος, ȣ, ὁ καὶ ἡ, *injustus*, unjust.

Ἀδύνατος, ȣ, ὁ, *impotens*, unable.

Ἀεὶ, *semper*, always.

Ἀείδω, σω, ἤεικα, *cano*, to sing.

Ἀετὸς, ȣ, ὁ, *aquila*, an eagle.

Ἀηδῶς, *injucunde*, unpleasantly.

Ἀθῆναι, ῶν, αἱ, *Athenæ*, Athens.

Ἄθλιος, ȣ, ὁ, *miser*, miserable.

Ἀθυμέω, ῶ, ήσω, ἠθύμηκα, *animum despondeo*, to be in despair.

Ἀθρόος, ου, ὁ, *coacervatus*, accumulated.

Αἰθίοψ, οπος, ὁ καὶ ἡ, a blackmoor.

Αἱρέω, ῶ, ήσω, ᾕρηκα, ἑλῶ, εἶλον, *capio*, to take; *eligo*, to choose.

Ἄιρω, ἀρῶ, ἦρκα, *tollo*, to raise.

Αἰσθάνομαι, αἰσθήσομαι, ᾔσθημαι, ᾐσθόμην, αἰσθόμενος, *sentio*, to perceive.

Αἰτέω, ῶ, ήσω, ᾔτηκα, ᾔτησα, *peto*, to ask.

Αἰτία, ας, *causa*, a cause.

Αἴτιος, ου, ὁ, καὶ ἡ, ab Αἰτία.

Αἴφνης, *subito*, suddenly; ab ἀφανής.

Ἀκονᾶν, ab ἀκονάω, *exacuo*, to whet.

Ἀκούσας, ab ἀκούω.

Ἀκούω, σω, ἤκουκα, ἤκουον, ες, ε, *audio*, to hear.

Ἀκροαόμαι, ασομαι, *audio*, to hear.

Ἀκρωτήριον, ου, τὸ, *summitas*, a promontory.

Ἀλγέω, ῶ, ήσω, ἤλγηκα, *doleo*, to be in pain.

Ἀλγήσας, ab ἀλγέω, ῶ.

Ἀλεκτρεὼν, ab ἀλεκτρυὼν, ονος, ὁ καὶ ἡ, *gallina*, a hen.

Ἀλεκτρυὼν, ονος, ὁ καὶ ἡ, *gallus*, a cock.

Ἀλήθεια, ας, ἡ, *veritas*, truth.

Ἀληθῆ, ab ἀληθὴς, *verus*, true.

Ἀληθῶς, ab ἀληθὴς, *vere*, truly.

Ἁλιεὺς, έος, ὁ, *piscator*, a fisherman.

Ἅλις, *satis*, enough.

Ἁλίως, *frustra*, in vain.

Ἀλλὰ, *sed*, but.

Ἀλλάσσα, ab ἀλάσσω, vel ἀλάττω, ξω, ἤλλαχα, ἤλλαγον, *muto*, to change.

Ἄλλος, ἄλλη, ἄλλο, *alius*, another, other.

Ἀλλότριος, α, ον, *alienus*, another man.

Ἀλογίστος, ου, ὁ καὶ ἡ, *rationis expers*, void of reason.

Ἀλόγως, *sine ratione*, without reason.

Ἀλώπηξ, έκος, ἡ, *vulpes*, a fox.

Ἀμείνον, ονος, ab ἀγαθὸς.

Ἀμείνων, ab ἀμείνον.

Ἀμέλεια, ας, ἡ, *negligentia*, negligence.

Ἀμέλεω, ῶ, ήσω, ἠμέληκα, ἠμέλησα, ἀμελῶσιν, ἀμελοῦντος, ἀμελημένος, pro ἠμελημένος, *negligo*, to neglect.

Ἀμηχανέω, ῶ, ήσω, *sum inops consilii*, to be at a loss what to do.

Ἄμυνω, υνῶ, ἤμυγκα, ἠμυνάμην, ω, ατο, ἀμυνοῦμαι, ἀμύνω, ης, η, *auxilior*, to help.

Ἄμπελος, ου, ἡ, *vinea*, a vineyard; *vitis*, a vine.

Ἀμφίβολος, ου, ὁ καὶ ἡ, *ambiguus*, doubtful.

Ἀμφιέννυμι, έσω, ἠμφίεσμαι, *vestio*, to clothe.

Ἀμφιέσῃ, ab ἀμφιέννυμι.

Ἀμφότερος, α, ον, *ambo*, both.

Ἄν, *si*, if.

Ἀναβαίνω, βήσομαι, βεβήκα, *ascendo*, to ascend.

Ἀνάγκη, ης, ἡ, *necessitas*, necessity.

Ἀναδίδωμι, δώσω, δέδωκα, ἀνέδων, *reddo*, to restore.

Ἀναιδεία, ας, Ion. ἀναιδείη, ης, ἡ, *impudentia*, impudence.

Ἀναιρέω, ήσω, ἀνήρηκα, ἀνεῖλον, ἀνειλόμην, ου, ετο, *tollo*, to take away; *interficio*, to kill.

Ἀνακομίζω, ίσω, *adfero*, to bring.

Ἀναλαμβάνω, λήψομαι, ἀνείληφα, ἀνέλαβον, ἀναλαβών, *recipio*, to receive.

Ἀναλίσκω, ἀναλώσω, ἀνήλωκα, ανήλωσα, *consumo*, to destroy.

Ἀναλογίζομαι, ίσομαι, *ratiocinor*, to account, to consider.

Ἀνάξιος, ου, ὁ καὶ ἡ, *indignus*, unworthy.

Ἀναπηδάω, ῶ, ήσω, ηκα, *salio*, to leap.

Ἀναπεπτάμενος, η, ον, ab ἀναπετάννυμι, *aperio*, to discover, to open.

Αναπτῆναι, ab ἀνίπτημι, quod ab ἵπτημι.

Ἀναφέρω, ἀνοίσω, ἀνήνεγκα, ἀνένεγκαι, ἀνενεγκεῖν, *sustollo*, to bring up.

Ἀναχωρέω, ῶ, ήσω, ηκα, ἀνεχώρησα, ἀναχωρήσας, *recedo*, to retire.

Ἀνέβη, ab ἀναβαίνω.

Ἀνέδωκεν, ab ἀναδίδωμι.

Ἀνεῖχον, ες, ε, ab ἀνέχω.

Ἀνεκόμισε, ab ἀνακομίζω.

Ἄνεμος, ου, ὁ, *ventus*, wind.

Ἀνεπήδησε, ab ἀναπηδάω.

Ἄνευ, *absque*, without.

Ἀνέχω, *sustineo*, to bear.

Ἀνήνεγκα, ab ἀναφέρω.

Ἀνὴρ, έρος, δρὸς, *vir*, *homo*, a man.

Ἀνθιστάμενος, ab ἀνθίστημι, ἀντιστήσω, ἀνθέστηκα, αντέστησα, ἀντέστην, *resisto*, to resist.

Ἄνθρωπος, ου, ὁ καὶ ἡ, *homo*, a man.

Ἀνίπτημι, ab ἵστημι.

Ἀνίστημι, ἀναστήσω, ἀνέστηκα, ἀνέστησα, ἀνέστην, ἀνάστα, et ἀνάστηθι, ἀναστῶ, ἀναστῆναι, ἀναστὰς, άσα, ὰν, *excito*, to awake.

Ἀνορύσσω vel ανορύττω, ξω, *effodio*, to dig up.

Ἀντέτεινε, ab ἀντιτείνω.

Ἀντὶ, *pro*, for.

Ἀντιτείνω, *repugno*, to resist.

Ἄντρον, ου, τὸ, *antrum*, a cave.

Ἀξίνη, ης, ἡ, *ascia*, a hatchet.

Ἀξιόω, ῶ, ώσω, ἠξίωκα, *dignor*, *postulo*, to ask.

Ἀπαγγέλλω, ἀπαγγελῶ, ἀπήγγελκα, ἀπήγγειλα, ἀπαγγέλλων, οντος, *renuntio*, to acquaint.

Ἀπάγω, άξω, ἀπῆχα, ἀπήγον, ἀπαγαγεῖν, ἀπάγαγων, οντος, ὁ, *abduco*, to lead away.

Ἀπαίδευτος, ου, ὁ καὶ ἡ, *ineruditus*, unlearned.

Ἀπανείμι, *redeo*, to return.

Ἅπαξ, *semel*, at once.

Ἅπας, ασα, αν, *omnis*, all.

Ἀπατάω, ῶ, ήσω, ἠπάτηκα, ἠπάτησα, ἀπάτησα, ας, ε, ἀπατᾶν, *fallo*, to deceive.

Ἀπειρηκὼς, υῖα, ὸς, *fessus*, tired.

Ἀπέβαλε, ab ἀπέβαλον, ες, ε, ab ἀποβάλλω.

Ἄπειμι, vel ἀπίημι, ἀπείσομαι, ἀπεῖσα, Att. ἀπήεσαν, *abeo*, to depart.

Ἄπειμι, ἀπῆν, *absum*, to be absent.

Ἀπεκλαίοντο, ab ἀποκλαίω.

Ἀπέκτεινε, ab ἀπέκτεινα, ας, ε, ab ἀποκτείνω.

Ἀπελύθη, ab ἀπελύθην, ης, η, ab ἀπολύομαι, ab ἀπολύω.

Ἀπέπνει, ab ἀποπνέω.

Ἅπερ, pro ἥπερ, *quæ*, which.

Ἀπερισκέπτως, *inconsiderate*, inconsiderately.

Ἀπῆγον, verbi ἀπάγω.

Ἀπληστία, ας, ἡ, *avaritia*, avarice, covetousness.

Ἀπὸ, *post*, after.

Ἀποβάλλω, ἀποβαλῶ, ἀποβέβληκα, ἀπέβαλον, *abjicio*, to cast from.

Ἀποβεβληκάτων, verbi ἀποβάλλω.

Ἀποβίωσις, εως, ἡ, *mors*, death.

Ἀποδέχομαι, δέξομαι, δέδεσμαι, απεδέχθην, ης, η, απεδέχθησαν, ἀπεδεξάμην, ω, ατο, ἀποδέξασθαι, *recipio*, to receive; *probo*, to approve.

Ἀποδίδωμι, ἀποδίδοθι, ίτω, αποδίδοναι, ἀποδέδωκα, ας, ε, *reddo*, to restore; *retribuo*, to recompence.

Ἀποδύρομαι, οδυροῦμαι, *lamentor*, to bewail.

Ἀποθνήσκω, ἀποτέθνηκα, ἀπέθανον, ἀποθάνω, ης, η, ἀποθανεῖν, ἀποθανῶν, όντα, *morior*, to die.

Ἀποκαλέω, έσω, vel ήσω, *nomino*, to call.

Ἀποκλαίω, εις, ει, ἀποκλαύσιω, *lugeo*, to mourn.

Ἀποκτείνας, verbi ἀποκτείνω, ἀποκτενῶ, ἀπέκτασκα, ἀπέκτεινα, ἀποκτείνω, ῃς, ῃ, ἀποκτεῖνα, ἀποκτείνας, ασα, αν, ἀπέκτανον, ἀπέκτονα, *occido*, to kill.

Ἀπόλαυσις, εως, ἡ, *fruitio*, *voluptas*, pleasure.

Ἀπόλλυμαι, ab ἀπόλλυμι, ἀπολέσω, ἀπολῶ, ἀπώλεσα, ἀπολώληκα, *perdo*, to lose.

Ἀπολογία, ας, ἡ, *excusatio*, an excuse.

Ἀπόλλα, ας, ε, ab ἀπόλλυμι.

Ἀπολύσωσι, ab ἀπόλλυμι.

Ἀπολύω, ἀπέλυον, ες, ε, ύσω, ἀπολέλυκα, ἀπέλυσα, ας, ε, ἀπόλυσον, ἀπολύσω, ῃς, ῃ, ἀπολῦσαι, ἀπολύσας, αντος, ὁ, ἀπελύοντο, *libero*, to free.

Ἀπονέμω, ἀπονεμῶ, ἀπονενέμηκα, *tribuo*, to bestow.

Ἀποπνέω, ἀποπνείω, ἀποπνεύσω, *efflo*, to breathe out.

Ἀποπνιγησόμενος, η, ον, *suffocaturus*, about to be suffocated.

Ἀποπνίγω, ἀποπνίξω, ἀποπέπνικα, ἀπέπνιξα, ἀπέπνιγον, *suffoco*, to suffocate.

Ἀπορέω, ήσω, ἀπορῶν, ῦντος, ὁ, *dubito*, to doubt; *egeo*, to be in want.

Ἀποτάττω, άξω, αχα, *colloco*, to place.

Ἀποτίθημι, ἀποθήσω, ἀποτέθεικα, ἀπέθηκα, *depono*, to put down.

Ἀποτρέπω, ψω, ἀποτέτρεφα, ἀπέτρεψα, ἀπέτραπον, *averto*, to turn away.

Ἀποτροπιασμὸς, ῦ, ὁ, *aversatio*, a turning away.

Ἀποφυγεῖν, ab ἀποφεύγω, ἀπέφυγον, ἀποφύγοιμι, οις, οι, ἀποφυγὼν, ἀποφυγεῖν, *effugio*, to fly from.

Ἀπωδύρετο, ab Ἀποδύρομαι.

Ἀπωλεία, ας, ἡ, *exitium*, destruction.

Ἀπώλεσα, ας, ε, ab ἀπόλλυμι.

Ἀράμενος, ab αἴρω.

Ἆρας, ab ἄιρω.

Ἀράχνης, ῦ, ὁ, *araneus*, a spider.

Ἀργυρέος, έα, έον, *argenteus*, made of silver.

Ἀρκεῖ, ab ἀρκέω, έσω, ἤρκεκα, ἤρκεσα, ἄρκεσα, *sufficio*, to suffice; *contentus sum*, to be content.

Ἀρνὸς, ῦ, ὁ, *agnus*, a lamb.

Ἆρον, verbi Αἴρω.

Ἁρπάζω, σω, ξω, ἤρπακα, αχα, *rapio*, to snatch.

Ἀρχὴ, ῆς, ἡ, *principium*, the beginning.

Ἄρχω, ἄρξω, ἦρχα, *incipio*, to begin.

Ἄρχων, οντος, ὁ, *rector*, a governor; *princeps*, a prince.

Ἀσέβεια, ας, ἡ, *impietas*, impiety.

Ἀσεβέω, ῶ, ήσω, ἠσέβηκα, *impie ago*, to do impiously.

Ἀσχολέω, ήσω, ἠσχόληκα, *occupo*, to occupy.

Ἅτερος, pro ὁ ἕτερος, *alter*, the other.

Ἄτριχος, ȣ, ὁ καὶ ἡ, *sine capillis*, bald.

Ἀττικὴ, ῆς, ἡ, *Attica*, Attic.

Αὖθις, *rursus*, again.

Αὐλέω, ήσω, ηὔληκα, *tibia cano*, to sing with a pipe.

Αὔλησον, ab αὐλέω.

Αὐλητὴς, ȣ, ὁ, *tibicen*, a piper.

Αὐξάνω, αὐξήσω, ηὔξηκα, ηὔξανον, *augeo*, to increase.

Αὐτίκα, *statim*, immediately.

Αὐτὸς, ἡ, ὀν, *ipse*, he.

Αὐτόχειρ, ρος, ὁ καὶ ἡ, *qui aliquid sua manu facit*, he who does any thing with his own hand.

Ἀφαιρέω, ῶ, ἀφήρησα, ἀφήρηκα, ἀφεῖλον, *aufero*, to take away.

Ἀφεὶς, εντος, ab ἀφίημι.

Ἀφείθην, ab ἀφιήμι.

Ἀφθόνως, *copiose*, abundantly.

Ἀφίημι, ήσω, εἷκα, *dimitto*, to let fall.

Ἀφικνέομαι, ȣμαι, ἀφικνέμενων, *advenio*, to come.

Ἀχάριςος, ȣ, ὁ καὶ ἡ, *ingratus*, ungrateful.

Ἀχθοφορέω, ῶ, ήσω, *onera fero*, to carry a burden.

Ἀχυρὸν, ȣ, τὸ, *palea*, chaff.

B.

Βαδίζω, ίσω, βεβάδικα, *eo*, to go.

Βάθος, εος, τὸ, *profunditas*, depth, deep.

Βαθὺς, εῖα, ὺ, *profundus*, deep.

Βαπτίζω, ίσω, βεβάπτικα. ἐβάπτισα, *mergo*, to sink.

Βάρος, εος, τὸ, *pondus*, a weight,

Βασιλεὺς έος, *rex*, a king.

Βασιλεύω, εύσω, βεβασίλευκα, ἐβασίλευσα, *regno*, to reign.

Βαστάζω, σω, βαστάξω, βεβάστικα, ἐβάστασα, *porto*, to carry.

Βάτραχος, ȣ, ὁ, *rana*, a frog.

Βέβαιος, ȣ, ὁ καὶ ἡ, *firmus*, firm.

Βελτίςος, ίςη, ίςον, ab ἀγαθος.

Βελτιὼν, ονος, ὁ καὶ ἡ, ab ἀγάθος.

Βία, ας, ἡ, *vis*, force.

Βίος, ε, ὁ, *vita*, life.

Βλαϐερὸς, ρὰ, ρὸν, *noxius*, hurtful.

Βλέπω, ψω, ϐέϐλεφα, ἔϐεϐλεψα, *aspicio*, to behold.

Βοάω, ήσω, ϐεϐόηκα, ἐϐόησα, *clamo*, to cry out.

Βόσκω, ϐόσω, ϐέϐοκα, βόσα, *pasco*, to feed.

Βουκόλος, ϐωκόλος, ε, ὁ, *bubulcus*, a herdsman.

Βούλευμα, ατος, τὸ, *consilium*, counsel.

Βουλεύω, εύσω, ϐεϐούλευκα, ἐϐούλευσα, *consulto*, to consult.

Βουλὴ, ῆς, ἡ, *consilium*, counsel.

Βούλομαι, ϐουλήσομαι, ϐεϐούλημαι, *volo*, to wish.

Βραχὺς, εῖα, ὺ, *brevis*, short.

Βρέχω, ξω, χα, ἔϐραχον, *madefacio*, to wet.

Βρύχω, ξω, χα, *frendo*, to roar.

Βρῶμα, ατος, τὸ, *cibus*, meat.

Βρῶσις, ιος, έως, et έος, ἡ, *cibus*, meat.

Βρώσκω, ώσω, ϐέϐραχα, *pasco*, to feed.

Βῶλος, ε, ἡ *ager*, a field: *massa*, a mass.

Γ.

Γαλῆ, ῆς ἡ, *mustela*, a weasel.

Γὰρ, *nam*, for.

Γεγονέν, a γίνομαι.

Γελάω, ῶ, ασω, γεγάλακα, *rideo*, to laugh.

Γελῶν, a γελάω.

Γενέσθαι, a γίνομαι.

Γενήσομαι, a γίνομαι.

Γενόμενος, η, ον, a γίνομαι.

Γένος, εος, τὸ, *genus*, a gender, a kind, race.

Γέρανος, ε, ἡ, *grus*, a crane.

Γέρων, οντος, ὁ, *senex*, an old man.

Γεωργία, ας, ἡ, *agricultura*, agriculture.

Γεωργὸς, ε, ὁ, *agricola*, a farmer.

Γῆ, γῆς, ἡ, *terra*, the earth.

Γηράσκω, ασω, γεγήρακα, ἐγήρασα, *senesco*, to grow old.

Γηράω, ῶ, άσω, ἐγήρασα, verbi præc.

Γίνομαι, vel γίγνομαι, γενήσομαι, γεγένημαι, ἐγενόμην, *sum*, I am; *fio*, to be made.

Γινώσκω, ἔγνωσα, ἔγνωκα, *cognosco*, to know.

Γλωσσαλγία, ας, ἡ, *linguæ dolor*, loquacity.

Γνὲς, verbi γινώσκω.

Γνῶναι, verbi γινώσκω.

Γονεὺς, έος, vel έως, ὁ, *parens*, a parent.

Γράφω, ψω, γέγραφα, ἔγραψα, *scribo*, to write.

Γυνὴ, α, γυνὴν, γυνάικος, *mulier*, a woman.

Δ.

Δάκνω, δήξω, δακῶ, ἤδηξα, ἔδακον, δέδηχα, *mordeo*, to bite.

Δακόντος, ab δάκνω, *mordeo*, to bite.

Δακὼν, οντος, a δάκνω.

Δὲ, *igitur*, therefore; *sed*, but.

Δεῖ, δεήσει, *oportet*, it behoveth.

Δειδίσσομαι, vel δειδίττομαι, a δεδίττομαι. ίξομαι, ιγμαι, *terreo*, to frighten.

Δείδω, δείσω, δέδεικα, *timeo*, to fear.

Δείλαιος, αία, αίον, *timidus*, timid.

Δειλία, ας, ἡ, *timiditas*, timidity, *timor*, fear.

Δειλιάω, ῶ, άσω, δεδειλίακα, *formido*, to fear.

Δειλὸς, ἡ, ὸν, *timidus*, timid.

Δειλότερος, a δειλὸς.

Δεῖν, a δεῖ, *oportet*, it behoveth.

Δεινὸς, ἡ, ὸν, *excellens*, excelling; *gravis*, heavy.

Δέλτος, ȣ, ἡ, *liber*, a book.

Δελφὶς, ινος, ὁ, *delphin*, a dolphin.

Δένδρον, ȣ, τὸ *arbor*, a tree.

Δεόμαι, δεῦμαι, *ligor*, to be bound.

Δέομαι, δεέομαι, δεήσομαι, δεδέημαι, *rogo*, to ask.

Δέρμα, ατος, τὸ, *cutis*, a skin.

Δεσμὸς, ȣ, ὁ *vinculum*, a band or bond.

Δέσποινα, ης, ἡ, *domina*, a mistress.

Δεσπότης, ȣ, ὁ *dominus*, a master.

Δεσπότις, ιδος, ἡ *domina*, a mistress.

Δεύτερος, ερα, ερον, *secundus*, second.

Δὴ, *equidem*, indeed, truly.

Δήκω, ήξω, ηχα, *mordeo*, to bite.

Δηλόω, ῶ, ἐδήλοον, ȣν, οεις, ȣς, οε, ȣ, ώσω, δεδήλωκα, *declaro*, to declare; *indico*, to signify.

Δήμιος, ία, ίον, vel ος, ȣ, ὁ καὶ ἡ, *publicus*, public.

Δήποτε, *unquam*, ever.

Διὰ, *per*, by. Διὰ τί, why?

Διάθεσις, εως, ἡ, *dispositio*, disposition; *affectio*, affection.

Διαιρέω ῶ, ήσω, *divido*, to divide.

Διακολυμβώντων, verbi διακολυμβάω, ῶ, ήσω, *transnato*, to swim over.

Διακομίζω, ίσω, *transveho*, to carry over.

Διαλέγομαι, διελεγόμην, ȣ, ετο, διαλέλεγμαι, *dissero*, to discourse.

Διαλεχθῆναι, ab διαλέγομαι.

Διαπραξάμενος, η, ον, a διαπράσσω, άττω, ξω, *perficio*, to finish; *conficio*, to perform.

Διαρκέω, ῶ, έσω, εκα, *suppedito*, to supply.

Διασώζω, σω, διασέσωκα, διέσωσα, *servo*, to save.

Διατελέω, έσω, *permaneo*, to remain.

Διδασκαλεῖον, ȣ, τὸ, *schola*, a school.

Διδάσκω, ξω, δεδίδαχα, *doceo*, to teach.

Δίδωμι, εδίδων, ως, ω, vel ἐδίδȣν, ȣς, ȣ, *do*, to give.

Διελεῖν, a διαιρέω, ῶ.

Διεξέρχομαι, *enarro*, to relate.

Διερευνάω, ῶ, ήσω, *indago*, to explore.

Διετέλει, verbi διατελέω, to remain.

Διέτριβον, ες, ε, verbi διατρίβω.

Δίκαιος, αία, αίον, *justus*, just.

Δικαιοσύνη, ης, ἡ, *justitia*, justice.

Δικαίως, *justè*, justly.

Διοικέω, ῶ, διοικεῖ, ήσω, διώκηκα, *instituo*, to institute.

Διοικȣ̃ντας, a διοικέω.

Διὸς, *Jovis*, a Ζεὺς, *Jupiter*, Jupiter.

Δῖος, ῖα, ῖον, pro δίιος, *divus*, divine.

Δὶς, *bis*, twice.

Δὶς, a Ζεὺς, διὸς, *Jupiter*, Jupiter.

Διψάω, ῶ, ήσω, δεδίψηκα, *sitio*, to thirst.

Διώκω, ἐδίωκον, διώξω, δεδίωχα, *expello*, to expel; *persequor*, to pursue.

Δοκέω, ῶ, ἐδόκεον, ȣν, δόξω, δέδοχα, *video*, to see, to think.

Δολιχόδειρος, seu δουλιχόδειρος, ȣ, ὁ καὶ ἡ, *collum longum habens*, having a long neck.

Δορὰ, ᾶς, ἡ, *pellis*, a skin.

Δραχμὴ, ῆς, ἡ, *drachma*, a drachm.

Δρομαῖος, αῖα, αῖον, *cursu valens*, *velox*, swift.

Δρόμος, ȣ, ὁ, *cursus*, a course, running.

Δρυμὼν, ῶνος, ὁ, a δρυμὸς, ȣ̃, ὁ, *quercetum*, a forest.

Δύναμαι, σαι, ται, δύνωμαι, η, ηται, ἠδυνάμην, ω, ατο, *possum*, to be able.

Δύναμις, εως, ἡ, *potentia*, power.

Δυνάστης, ȣ, ὁ, *potens*, powerful; *dynasta*, a prince.

Δυνατὸς, ἡ, ὸν, *potens*, powerful.

Δύο, vel δύω, δυοῖν, δυῶν, δυσὶ, *duo*, two.

Δυσμένεια, ας, ἡ, *odium*, hatred.

Δυςυχέω, ῶ, ήσω, ηκα, δυςυχήσας, αντος, *infelix sum*, to be unhappy.

Δυςύχημα, ατος, τὸ, *afflictio*, affliction.

Δυςυχὴς, verbi δυςυχέω.

Δυςυχία, ας, ἡ, *miseria*, misery.

Δύω, pro δύο, δυοίν, δύων, δυσὶ, *duo*, two.

Δύω, δύσω, δέδυκα, *subeo*, to go under.

Δῶμα, ατος, τὸ, *domus*, a house.

Δωρέω, ῶ, ήσω, *dono*, to bestow.

E.

Ἐὰν, *si*, if.

Ἑὰς, pro ἃς, ab ὃς, ἣ, ὃ, *qui, quæ, quod*, who.

Ἑαυτοῦ, ῆς, οῦ, *sui ipsius*, of himself, herself, itself.

Ἐβάδισεν, a βαδίζω.

Ἐβεβλήτο, a βάλλω.

Ἐβόα, verbi βοάω.

Ἐβρυχᾶτο, a βρυχάομαι, a βρύχω.

Ἐγείρω, ἐγερῶ, ἤγερκα, ἤγειρα, *excito*, to raise up.

Ἐγκέφαλος, ου, ὁ καὶ ἡ, *cerebrum*, the brain.

Ἔγνω, verbi γνῶμι, verbi γινώσκω vel γιγνώσκω,

Ἐγὼ, ἐμοῦ, *ego*, I.

Ἔδακε, a δάκνω.

Ἐδεδοίκει, a δείδω.

Ἔδει, ab ἔδω.

Ἔδεσμα, ατος, τὸ, *cibus*, meat.

Ἐδίδαξε, a διδάσκω.

Ἐδίωκον, ες, ε, verbi διώκω.

Ἔδω, ἐδήδοκα, pro ἔδηκα, *edo*, to eat.

Ἔθος, εος, τὸ, *mos*, a manner, a custom.

Ἔθω, *ex consuetudine facio*, to do from custom.

Εἶ, ab εἶμι,

Εἰ, *si*, if.

Εἶ, ab εἶμι.

Εἶδεν, ab εἴδω.

Εἰδέω, vel εἰδήμι, ήσω, *scio*, to know.

Εἰδοτές, ab εἰδὼς, ότος, ab εἰδέω, vel εἰδήμι,

Εἴδω. εἶδον, ἴδον, *video*, to see.

Εἰκάζω, ασω, *assimilo*, to liken, to resemble.

Εἰκῆ, *frustra*, in vain.

Εἰληφὼς ότος, a λαμβάνω.

Εἰμὶ, εἶ, vel εἶς, ἐστὶ, ἦν, *sum*, I am.

Εἶμι, *eo*, to go.

Εἶπον, ες, ε, ab ἔπω.

Εἴρηκε, ab ῥέω.

Εἰς, vel ἐς, *ad*, to, in.

Εἶς, ab εἰμὶ, *sum*, I am.

Εἷς, ab εἶμι, *eo*, to go.

Εἵς, ab ἵημι, *mitto*, to send.

Εἷς, μία, ἕν, ἑνὸς, μιᾶς, ἑνὸς, *unus*, one.

Εἰσάλλομαι, vel ἐσάλλομαι, αλῦμαι, *insilio*, to leap in.

Εἰσδύνω, *subeo*, to go under, to enter.

Εἴσεδυ, ab εἰσδύνω.

Εἴσειμι, vel εἰσίημι.

Εἰσέρχομαι, εἰσερχέσθωσαν, εἰσελεύσομαι, εἰσῆλθον, ες, ε, *ingredior*, to go, to enter upon.

Εἰσήλατο, ab εἰσάλλομαι.

Εἰσίημι, εἰσίασιν, *intro*, to enter.

Εἰσπηδάω, ήσω, *insilio*, to leap in or upon.

Εἶτα, *tum*, then.

Εἶχον, ες, ε, ab ἔχω.

